ΠΑΛΛΑΔΑ.

Βέλτερόν ἐστι τύχης καὶ θλιβομένης ἀνέχεσθαι,
Ἢ τῶν πλουτούντων τῆς ὑπερηφανίης.

ΚΡΑΤΗΤΟΣ τοῦ φιλοσόφου.

Χαῖρε θεὰ δέσποιν', ἀνδρῶν ἀγαθῶν ἀγάπημα,
Εὐτελίη, κλεινῆς ἔκγονε Σωφροσύνης.
Σὴν ἀρετὴν τιμῶσιν ὅσοι τὰ δίκαι' ἀσκοῦσιν.

ΘΕΟΓΝΙΔΟΣ.

Οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι· ἀλλά μοι εἴη
Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Ἄδηλον.

Ζῆσον λογισμῷ, καὶ μενεῖς ἀνενδεής.

Ἄδηλον.

Σώματα πολλὰ τρέφειν, καὶ δώματα πόλλ' ἀνεγείρειν,
Ἀτραπὸς εἰς πενίην ἐστὶν ἑτοιμοτάτη.

Ἄδηλον.

Ὦ γαστὴρ κυνόμυια, δι' ἣν κόλακες παράσιτοι
Ζωμοῦ πωλοῦσιν θεσμὸν ἐλευθερίης.

---

ΕΙΣ ΤΟΝ ΑΝΘΡΩΠΙΝΟΝ
βίον, κεφ. ιγ.

ΑΡΧΙΟΥ.

Θρήϊκας αἰνείτω τις, ὅτι στοναχεῦσι μὲν υἷας
Μητέρος ἐκ κόλπων πρὸς φάος ἐρχομένους,
Ἔμπαλι δ' ὀλβίζουσιν ὅσους αἰῶνα λιπόντας
Ἀπροΐδης Κηρῶν λάτρις ἔμαρψε μόρος.

Οἱ μὲν